## **ἀντισπαστικὸν ἑφθημιμερές / antispasticum hephthemimericum**

× ×͝͝ ⏕ ⏑ ⏑ – ⏓

**1.** Hephaest. 32. 9 sqq. ἑφθημιμερὲς δὲ (*scil.* ἀντισπαστικόν) τὸ καλούμενον φερεκράτειον· (Pherecr. 84 [PCG VII, p. 142] Kassel-Austin)

ἄνδρες πρόσχετε τὸν νοῦν
ἐξευρήματι καινῷ
συμπτύκτοις ἀναπαίστοις.

Tzetz. *de metr. Pind.* 108. 6 sqq.

δεύτερον φερεκράτειον ἀπὸ τοῦ Φερεκράτους·
ὑπάρχει δ᾽ ἀντισπαστικόν, ἢ ἑφθημιμερές γε,
ἢ καταλήξει δίμετρον ἐν ἑπτασυλλαβίᾳ.

Trich. 389. 10 sqq. δίμετρον δέ (*scil.* ἀντισπαστικόν) ἐστι καταληκτικὸν μὲν τό·

πολεῦντος πότνιά μευ.

τοῦτο δὲ ἑφθημιμερὲς καλεῖται, τρεῖς ἥμισυ ἔχον δισυλλαβίας, αἵ εἰσιν ἥμισυ τοῦ ἑπτά. ταὐτὸ τοῦτο καὶ φερεκράτειον λέγεται, ὡς κατακόρως τούτῳ χρησαμένου τοῦ Φερεκράτους. πολλῷ δὲ αὐτῷ κέχρηται καὶ ἡ ποιήτρια Κορίννη.

Plan. in Boethii *de cons.* 91 (p. 107 Papathomopoulos) τούτῳ δὲ (*scil.* τῷ εἴδει) ὑπέταξεν (*scil.* ὁ Βοηθός) ἕτερον ἀντισπαστικὸν ἑφθημιμερές, ὅ ἐστι δίμετρον καταληκτικόν, τὸ καλούμενον φερεκράτειον, ἐκ σπονδείου καὶ τροχαίου καὶ ἔτι ἰάμβου καὶ μιᾶς συλλαβῆς· ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

Plan. in Boethii *de cons.* 133 (p. 110 Papathomopoulos) ᾧ (*scil.* τῷ ἀλκμανικῷ) ὑπέταξεν (*scil.* ὁ Βοηθός) ἀντισπαστικὸν ἑφθημιμερὲς φερεκράτειον, περὶ οὗ εἴρηται ἐν τῷ ἐνάτῳ (*scil.* εἴδει). ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

Plan. in Boethii *de cons.* 166 (p. 113 Papathomopoulos) ᾧ (*scil.* τῷ τροχαικῷ διμέτρῳ ἀκαταλήκτῳ) ὑπέταξεν (*scil.* ὁ Βοηθός) ἀντισπαστικὸν ἑφθημιμερὲς τὸ καλούμενον φερεκράτειον, περὶ οὗ εἴρηται ἐν τῷ θ´ (*scil.* εἴδει)· ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

Anon. Vat. 22 (Pind. *Ol.* 5. 4)

– – – ⏑ . ⏑ – – – .
ὃς τὰν σὰν πόλιν αὔξων

ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἑφθημιμερές). (Pind. *Ol.* 13. 2)

⏑ – – ⏑ . ⏑ – – – .
οἶκον ἅμετρον ἀστοῖς

ὅμοιον.

Schol. rec. in Pind. *Ol.* 13 (p. 383. 10 sqq. Abel) τὸ β′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον ἐκ διτροχαίου.

Schol. in Aesch. *Pers.* 268 (p. 158 Massa Positano) † τὸ δὲ δ´ ἑφθημιμερές (*scil.* ἀντισπαστικόν).

Schol. in Aesch. *sept.* 750-757b (II 2, p. 324. 13 sqq. Smith) + τὸ ς′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς φερεκράτειον, ἐκ διτροχαίου καὶ βακχείου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον τέταρτον ἔχει τὸν πρῶτον πόδα.

Schol. Tricl. in Eur. *Hec*. 444-454a (p. 25 de Faveri) τὸ α΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς φερεκράτειον ἐξ ἐπιτρίτου δ΄ καὶ βακχείου.

Schol. in Aristoph. *eq*. 973b (p. 223. 4 sqq. Jones-Wilson) Tr τὸ δὲ τέταρτον κῶλον δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον διὰ τὸ ἀντὶ τοῦ ἀντισπάστου ἔχειν ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ πρώτῃ χώρᾳ ἐπίτριτον καὶ αὐτὸ τέταρτον ἢ διτρόχαιον, ἐν δὲ τῇ δευτέρᾳ βακχεῖον.

Schol. rec. in Aristoph. *nub*. 563d. 14 sqq. (p. 90. Koster) $Tr^2$ τὸ ιβʹ ὅμοιον ἑφθημιμερές (*scil.* ἀντισπαστικόν), ὃ καλεῖται φερεκράτειον, ὡς αὐτός (ὁ Ἡφαιστίων, p. 32. 9) φησιν· ἔχει δὲ τὸν αʹ πόδα ἀντίσπαστον ἢ ἐπίτριτον δʹ, τὸν δὲ βʹ βακχεῖον.

Schol. Ald. in Aristoph. *nub*. 563a. (p. 271. 23 sqq. Koster) τὸ δυοκαιδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τὸ καλούμενον φερεκράτειον, ἑφθημιμερὲς ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου.

Schol. in Aristoph. *ran*. 323-353. 8 sq. (p. 62 Chantry) τὸ ἔνατον ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον, ἢ ἑφθημιμερές.

Schol. rec. in Aristoph. *ran*. 340-353b. 3 sqq. (p. 66 Chantry) τὸ β΄ (v. 341) δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον. περὶ τούτων δὲ εἴρητι ἐν τῇ παραβάσει τοῦ τῶν Νεφελῶν δράματος.

Schol. rec. in Aristoph. *ran*. 340-353b. 12 (p. 66 Chantry) τὸ θʹ (v. 348) ἀντισπαστικὸν ἑφθημιμερές.

Schol. rec. in Aristoph. *ran*. 1309-1324a. 23 sqq. (p. 219 Chantry) τὸ ιεʹ (v. 1323) 'ὁρᾷς τὸν πόδα τοῦτον' ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐξ ἀντισπάστου καὶ βακχείου, ἑφθημιμερὲς φερεκράτειον.

Schol. rec. in Aristoph. *ran*. 1325-1330b. 4 sq. (p. 222 Chantry) τὸ δὲ τέταρτον (v. 1328) (*scil.* ἀντισπαστικὸν δίμετρον) καταληκτικὸν ἤτοι ἑφθημιμερές.

Schol. rec. in Aristoph. *ran*. 1338-1345a. 12 sqq. (p. 225 Chantry) τὸ καʹ (v. 1342) 'τάδε τέρατα θεάσασθε' δίμετρον (ἀντισπαστικὸν ?) καταληκτικόν, ἤτοι ἑφθημιμερές ***, ἐξ (ἀντισπάστου) διαλελυμένων τῶν δύο μακρῶν (καὶ) ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

Schol. A in Hephaest. 143. 1 sqq. ἀντισπαστικὸν ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον ποδῶν ἁπλῶν τριῶν καὶ συλλαβῆς· (Pherecr. 84 [PCG VII, p. 142]. 1 Kassel-Austin)

> ἄνδρες πρόσσσχετε τὸν νοῦν.

Schol. A in Hephaest. 143. 4 sqq. ἐκ Κοριανοῦς· ὡς κατὰ ἁπλοῦν δὲ πόδα βαῖνον, ἑφθημιμερὲς (*scil.* ἀντισπαστικόν) εἴρηται (*scil.* τὸ φερεκράτειον)· ἔστι δὲ ποδῶν ἁπλῶν τριῶν καὶ συλλαβῆς· ἔστι δὲ ὁ πρῶτος ποὺς τέταρτος ἐπίτριτος ἐκ τριῶν μακρῶν καὶ βραχείας ἤτοι ἀντίσπαστος, εἶτα ἴαμβος καὶ συλλαβή.

Schol. A in Hephaest. 172. 9 sqq. τὸ τελευταῖον τοῦ συστήματος] ὅ ἐστιν ἀντισπαστικὸν ἑφθημιμερὲς οἷον τὸ τρίτον· (Anacr. [PMG 348]. 3 Page)

> δέσποιν᾽ Ἄρτεμι θηρῶν.

× ⏑⏑/× ⏖ ⏑ – ⏑ ⏓

**2.** Tzetz. *de metr. Pind.* 113. 12 sqq.

τὸ τρίτον φερεκράτειον, διπλοῦν ἀντὶ ἁπλοῦ δέ.
τὸ πρῶτον μὲν ὁλόκληρον, δεύτερον ἀτελὲς δέ.
μέτρον τὸ φερεκρατέους γὰρ ἀντίσπαστοι πληροῦσι.
δίμετρον ἔστι τοῦτο δέ, πλὴν ἀλλ᾽ ἐν καταλήξει·
εἰ βούλει ἑφθημιμερές, ἀλλ᾽ ἀντισπαστικόν γε,
ἀριθμουμένων τῶν ποδῶν κατὰ δισυλλαβίαν ...
ἀλλ᾽ ὅρα τὴν καταγραφὴν τοῦ νοῦ ἐξηγημένου.
φερεκράτειον πρῶτον      φερεκράτειον δεύτερον, λειπούσης συλλαβῆς
– – – ⏑ – ⏑ –      ⏑ – – ⏑ – –.

Schol. rec. in Pind. *Ol.* 1 (p. 46. 13 sqq. Abel) τὸ ι′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον, ὡς εἴρηται, ἐξ ἀντισπάστου καὶ δακτύλου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 3 sqq. Abel) τὸ γ′ ἀντισπαστικὸν διπλοῦν φερεκράτειον· σύγκειται γὰρ ἐκ β′ κώλων φερεκρατείων, ὧν τὸ β′ ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα β′ ἔχον.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 21 sqq. Abel) τὸ ι′ ἀντισπαστικὸν ἑφθημιμερὲς φερεκράτειον ἐξ ἀντισπάστου ἑξασήμου ἢ ἑπτασήμου καὶ τροχαικῆς κατακλεῖδος.

Schol. in Aesch. *Ag.* 1100 (I, p. 86. 22 sq. Smith) + τὸ β′ δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν, ἤτοι ἑφθημιμερές.

⏑ – – ⏑ ⏑ ⏑ –

**3.** Anon. Vat. 22 (Pind. *Ol.* 2. 6)

⏑ – – ⏑ . ⏑ ⏑ – .
γεγωνητέον ὀπί

δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν φερεκράτειον ἑφθημιμερές.

⏑ ⏑ ⏑ – ⏑ – –

**4.** Schol. in Aesch. *sept.* 417-421d (II 2, p. 196. 5 sq. Smith) + τὸ ε′ ὅμοιον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου· εἰ δὲ βούλει ἔστω παιωνικόν.

– – ⏑ – ⏑ – –

**5.** Schol. in Aesch. *Ag.* 1114 (I, p. 86. 29 sqq. Smith) + ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἒ ἕ. τὰ δὲ ἑξῆς κῶλά εἰσι ε′, ὧν τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές.

Schol. in Aesch. *Pers.* 280 (p. 158 Massa Positano) + τὸ δὲ δ´ ἑφθημιμερές (*scil.* ἀντισπαστικόν).

Schol. rec. in Aristoph. *ran.* 416-430a. 17 sqq. (p. 82 Chantry) τὸ ι′ (v.

428) ‘καὶ Καλλίαν γέ φασιν’ ἑφθημιμερές (*scil.* ἀντισπαστικὸν), ἐξ ἐπιτρίτου <τρίτου> καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

⏑ – ⏑ – – ⏑ ⏓

**6.** Schol. in Aesch. *Ag.* 1119 (I, p. 87. 1 Smith) + τὸ δὲ ς′ ἑφθημιμερές (*scil.* ἀντισπαστικόν).

Schol. in Aesch. *sept.* 734-741b (II 2, p. 319. 21 sqq. Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ὃ καλεῖται φερεκράτειον, ἐκ διάμβου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου· εἰ δὲ βούλει, περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαικῆς καταληκτικῆς ... τὸ ε′ ὅμοιον τῷ πρώτῳ κατὰ πάντα.

Schol. rec. in Aristoph. *ran.* 1356-1363a. 4 sqq. (p. 229 Chantry) τὸ λθ′ (v. 1358) ‘τὰ κῶλά τ’ ἀμπάλλετε’ δίμετρον καταληκτικὸν ἀντισπαστικόν, ἐκ διάμβου καὶ δακτύλου, ἤτοι ἑφθημιμερές.

⏑ – ⏑ – ⏑ ⏑ ⏓

**7.** Schol. in Aesch. *sept.* 947-950c (II 2, p. 388. 34 sq. Smith) + τὸ β′ ἀντισπαστικὸν ἑφθημιμερὲς ἐκ διάμβου καὶ ἀναπαίστου. τὸ γ′ ὅμοιον.

⏕ ⏑ – × – ⏑ –

**8.** Schol. in Aesch. *Ag.* 1162 (I, p. 87. 20 Smith) + τὸ β′ ἑφθημιμερές (*scil.* ἀντισπαστικόν).

– ⏑ – × × – –

**9.** Schol. rec. in Aristoph. *nub.* 804a. 1 sqq. (p. 117 Koster) Tr[1] ἆρά γ’ αἰσθάνει] κομμάτιον καὶ εἴσθεσις [δι]πλ[ῆς] κώλων θ′, ὧν πρῶτον· (v. 804)

[ἆρά γ’ αἰ]σθάνει πλεῖστα

ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου, καὶ ἔστιν [ἑφ]θημιμερὲς φερεκράτειον.

Schol. Ald. in Aristoph. *nub.* 1303a. (p. 280. 10 sqq. Koster) τὰ ἑξῆς τρία ἀντισπαστικὰ ἑφθημιμερῆ φερεκράτεια διτροχαικῆς κατὰ τὴν πρώτην τοῦ πεντεκαιδεκάτου χώραν κειμένης ταυτοποδίας.

– – – ⏑ ⏑ – – – – – – ⏑ – – – ||

**10.** Sacerd. GL VI 538. 12 sqq. antispasticum hephthemimericum pherecratium fit hippio quarto, hippio primo, hippio tertio, spondeo vel trochaeo: (Verg. *georg.* II 2)

nunc te, Bacche, canam nec non silvestria tecum.

constat enim pherecratium antispasticum duplici pherecratio dactylico copulato:

nunc te, Bacche, canam nec
non silvestria tecum. [*P.S.*]